double-breasted; **φύω**: bring forth, produce; **βουγενής**, **-ές**: ox-natured; **ἀνδρόπρωιρος, -α, -ον**: man-faced; **ἔμπαλιν**: back, in return; **ἐξανατέλλω**: cause to spring up; **ἀνδροφυής**, **-ές**: man-natured; **βούκρανα**: cow-headed; **μίγνυμι**: mix; **τῆι**: here, there; **γυναικοφυής**, **-ές**: woman-natured, **σκιερός, -α, -ον**: shady, dark-colored, shade-giving; **ἀσκέω**: adorn, furnish with; **τό γυῖον**: limb.

VIII.4. Plato, *Symposium* 189d-190a. In the *Symposium*, Plato explored many theories regarding the nature of love, including one here attributed to the comic-playwright Aristophanes on the original "third gender."

Grammar/Syntax Tags: genitives, imperfect tense, perfect tense, contract verbs, aorist optatives, relative clauses.

πρῶτον μὲν γὰρ τρία ἦν τὰ γένη τὰ τῶν ἀνθρώπων, οὐχ ὥσπερ νῦν δύο, ἄρρεν καὶ θῆλυ, ἀλλὰ καὶ τρίτον προσῆν κοινὸν ὂν ἀμφοτέρων τούτων, οὗ νῦν ὄνομα λοιπόν, αὐτὸ δὲ ἠφάνισται. ἀνδρόγυνον γὰρ ἓν τότε μὲν ἦν καὶ εἶδος καὶ ὄνομα ἐξ ἀμφοτέρων κοινὸν τοῦ τε ἄρρενος καὶ θήλεος, νῦν δὲ οὐκ ἔστιν ἀλλ᾽ ἢ ἐν ὀνείδει ὄνομα κείμενον.

ἔπειτα ὅλον ἦν ἑκάστου τοῦ ἀνθρώπου τὸ εἶδος στρογγύλον, νῶτον καὶ πλευρὰς κύκλῳ ἔχον, χεῖρας δὲ τέτταρας εἶχε, καὶ σκέλη τὰ ἴσα ταῖς χερσίν, καὶ πρόσωπα δύ᾽ ἐπ᾽ αὐχένι κυκλοτερεῖ, ὅμοια πάντῃ: κεφαλὴν δ᾽ ἐπ᾽ ἀμφοτέροις τοῖς προσώποις ἐναντίοις κειμένοις μίαν, καὶ ὦτα τέτταρα, καὶ αἰδοῖα δύο, καὶ τἆλλα πάντα ὡς ἀπὸ τούτων ἄν τις εἰκάσειεν.

ἐπορεύετο δὲ καὶ ὀρθὸν ὥσπερ νῦν, ὁποτέρωσε βουληθείη: καὶ ὁπότε ταχὺ ὁρμήσειεν θεῖν, ὥσπερ οἱ κυβιστῶντες καὶ εἰς ὀρθὸν τὰ σκέλη περιφερόμενοι κυβιστῶσι κύκλῳ, ὀκτὼ τότε οὖσι τοῖς μέλεσιν ἀπερειδόμενοι ταχὺ ἐφέροντο κύκλῳ.

Notes: **ἄρρην, -εν**: male; **θῆλυς, θήλεια, θῆλυ**: female; **πρόσειμι**: be added to; **ἀφανίζω**: cause to vanish, destroy (perfect middle/passive); **ὁ ἀνδρόγυνος**: hermaphrodite, androgyn; **τό ὄνειδος, -εος**: reproach, rebuke, insult.

στρογγύλος, -η, -ον: round, spherical; **τό νῶτον**: back; **ἡ πλευρά, -ᾶς**: rib, side; **τό σκέλος, -εος**: leg; **τό πρόσωπον**: face; **ὁ αὐχήν, -ένος**: neck, throat; **κυκλοτερής**, -ές: made round by turning, stretched in a circle, round; **πάντῃ**: in every direction, in every way; **τό οὖς ὠτός**: ear; **τό αἰδοῖον**: genitalia; **εἰκάζω**: liken, compare, estimate, make a guess, imagine.

ὁποτέρωσε: in either of two directions; **βουληθείη**: aorist passive optative of βούλομαι; **ὁπότε**: when; **ὁρμήσειεν**: aorist passive optative of ὁρμάω; **θέω**: run; **κυβιστάω**: tumble head first; **περιφέρω**: carry around; **τό μέλος, -εος**: limb; **ἀπερείδω**: fix, settle, support.

VIII.5. Pausanias, *Description of Greece* 10.4.4. At Panopeus (near Chaeronea and Daulis in Boeotia), we can see the very origins of the human race.

Grammar/Syntax Tags: dative of possession, aorist optative, aorist passive infinitive, participles, contract verbs.

λίθοι κεῖνταί σφισιν ἐπὶ τῇ χαράδρᾳ, μέγεθος μὲν ἑκάτερος ὡς φόρτον ἀποχρῶντα ἀμάξης εἶναι, χρῶμα δέ ἐστι πηλοῦ σφισιν, οὐ γεώδους ἀλλ᾽ οἷος ἂν χαράδρας γένοιτο ἢ χειμάρρου ψαμμώδους, παρέχονται δὲ καὶ ὀσμὴν ἐγγύτατα χρωτὶ ἀνθρώπου· ταῦτα ἔτι λείπεσθαι τοῦ πηλοῦ λέγουσιν ἐξ οὗ καὶ ἅπαν ὑπὸ τοῦ Προμηθέως τὸ γένος πλασθῆναι τῶν ἀνθρώπων.

Notes: **σφεῖς**: they, them (Pausanias' sources); **ἡ χαράδρα**: ravine, mountain stream; **ὁ φόρτος**: freight, cargo, load; **ἀποχράω**: suffice; **ἡ ἅμαξα**: wagon; **τό χρῶμα, -ατος**: color; **ὁ πηλός**: clay, earth; **σφισιν**: referring to the stones; **γεώδης**, -ες: earthy; **χειμάρρους**, **-ουν**: swollen in winter by melting snow, torrent; **ψαμμώδης**, -ες: sandy; **ἡ ὀσμή**: scent, odor; **ἐγγύς**: near; **ὁ χρώς, χρωτός**: skin; **λείπω**: leave, remain; **ἅπας**, **ἅπασα**, **ἅπαν**: all; **πλάσσω**: form, mould (aorist passive infinitive).

IX. Botany

Humankind cannot exist without plant life, and the Greeks depended on the "Mediterranean triad" (grain, olives, grapes) for both sustenance and economic livelihood. Many city foundation myths were inspired by agricultural motifs: e.g., the sown-men ("spartoi") of Corinth, and the autochthonous Athenians. Athena's very hegemony over her eponymous city, furthermore, was attributed to an agricultural gift—the cultivated olive. Plants had (and have) many uses—cooking, religion, medicine, cloth-dying, and perfume-making. It is thus important to recognize them, and to know their uses, how to collect and cultivate them, and how to prepare them. In Homer we find about fifty different plant names, and in Hesiod's *Works and Days* botanicals mark the seasons. Herodotus and Xenophon commented on unusual plants or the absence of familiar plants in distant lands, and their accounts show an awareness of their differing climatological needs. Aristotle's student Theophrastus was the first to consider plants in a systematic way, classifying them on analogy with his mentor's organization of the animal world. Theophrastus described various parts of plants (roots, stems, branches, twigs, leaves, seeds) and their types (trees, shrubs, undershrubs, herbaceous plants).

There are challenges, however, to identifying plants cited by Greek authors. In Theophrastus (and others), some wild plants are nameless, foreign plants might lack Greek names, and vocabulary could be ambiguous (see Irwin in Irby, ed. 2016: 266)—one common word might be applied to plants of different species (there are three all-heals, *panacea*, in Theophrastus, *History of Plants* 9.11.1), different plants might have the same name (black versus white violet: Theophrastus, *History of Plants* 6.6.7), or a plant might have different names according to locality (narkissos/leirion: Theophrastus, *History of Plants* 6.8.3—lilies were also called leirion). Finally, the Linnaean system of classification adds an additional layer of remove from the Greek botanical approach.

IX.1. Homer, *Iliad* 14.346-349. The earth blooms when Hera seduces Zeus.

Grammar/Syntax Tags: genitive of source, ethical dative, unaugmented aorist, relative clauses of result.

ἦ ῥα καὶ ἀγκὰς ἔμαρπτε Κρόνου παῖς ἣν παράκοιτιν:

τοῖσι δ᾽ ὑπὸ χθὼν δῖα φύεν νεοθηλέα ποίην,

λωτόν θ᾽ ἑρσήεντα ἰδὲ κρόκον ἠδ᾽ ὑάκινθον

πυκνὸν καὶ μαλακόν, ὃς ἀπὸ χθονὸς ὑψόσ᾽ ἔεργε.

Notes: **ἦ**: 3rd person imperfect of ἠμί speak; **ἀγκὰς**: into his arms; **μάρπτω**: take hold; **Κρόνου**: Cronus; **ὅς, ἥ, ὅν:** (possessive adjective) his, her, its; **ἡ παράκοιτις, -ιος**: bedmate, wife; **ἡ χθών, χθονός**: earth; **δῖος, δῖα, δῖον**: godlike, divine; **νεοθηλής**, **-ές**: fresh-budding; **ἡ πό(ι)α**: grass; **ὁ λωτός**: clover, trefoil, melilot; **ἑρσήεις, -εσσα, -εν**: dewy; **ἰδέ**: and; **ὁ κρόκος**: crocus, saffron; **ἠδέ**: and; **ὁ ὑάκινθος**: hyacinth; **πυκνός, -ή, -όν**: thick, close; **μαλακός, -ή, -όν**: soft; **ὑψόσε**: aloft; **ἔργω**: enclose, shut in, confine (them).

IX.2. Theocritus, *Idyll* 13.39-43. The pool of the nymphs who abducted Hylas, Herakles' young companion. Theocritus' learned botanical catalogue is appropriate to the marsh setting.

Grammar/Syntax Tags: Doric dialect, imperfect tense.

τάχα δὲ κράναν ἐνόησεν

ἡμένῳ ἐν χώρῳ: περὶ δὲ θρύα πολλὰ πεφύκει,

κυάνεόν τε χελιδόνιον χλωρόν τ᾽ ἀδίαντον

καὶ θάλλοντα σέλινα καὶ εἰλιτενὴς ἄγρωστις.

ὕδατι δ᾽ ἐν μέσσῳ Νύμφαι χορὸν ἀρτίζοντο.

Notes: **τάχα**: presently; **ἡ κράνα** (Doric of ἡ κρήνη): well, spring, fountain; **νοέω**: perceive, take notice of (construe Hylas as the subject); **ἡμένῳ**: seated, "low-lying"; **ὁ χῶρος**: place; **τό θρύον**: reed, rush; **κυάνεος, -α, -ον**: dark blue, glossy; **τό χελιδόνιον**: celandine; **χλωρός, -ά, -όν**: pale, pale-green, yellow; **ὁ ἀδίαντος**: maidenhair ("unwetted" because moisture does not cling to the plant's surface); **θάλλω**: sprout, grow; **τό σέλινον**: celery; **εἰλιτενής, -ές**: spreading through the marshes; **ἡ ἄγρωστις, -ιδος**: dog's tooth grass; see also the commentary in R. Hunter, *Theocritus: A Selection*, Cambridge, 1999 (ad loc.) who notes that the "lushness" of the plants "grow over the normal division of the hexameter;" **ὁ χορός**: dance; **ἀρτίζω**: prepare.

IX.3. Theophrastus, *Causes of Plants* 2.11.7. Why crooked trees live longer.

Grammar/Syntax Tags: comparatives, middle/passives, adverbs, relative clauses, indirect statement.

ὡς δὲ Δημόκριτος αἰτιᾶται, τὰ εὐθέα τῶν σκολιῶν βραχυβιώτερα καὶ πρωϊβλαστότερα διὰ τὰς αὐτὰς ἀνάγκας εἶναι—τοῖς μὲν γὰρ ταχὺ διαπέμπεσθαι τὴν τροφήν, ἀφ᾽ ἧς ἡ βλάστησις καὶ οἱ καρποί, τοῖς δὲ βραδέως, διὰ τὸ μὴ εὔρουν εἶναι τὸ ὑπὲρ γῆς, ἀλλ᾽ αὐτὰς τὰς ῥίζας ἀπολαύειν, καὶ γὰρ μακρόρριζα ταῦτα εἶναι καὶ παχύρριζα—δόξειεν ἂν οὐ καλῶς λέγειν.

καὶ γὰρ τὰς ῥίζας ἀσθενεῖς φησιν εἶναι τῶν εὐθέων, ἐξ ὧν ἀμφοτέρων θᾶττον γίνεσθαι τὴν φθοράν, ταχὺ γὰρ ἐκ τοῦ ἄνω διιέναι καὶ τὸ ψῦχος καὶ τὴν ἀλέαν ἐπὶ τὰς ῥίζας διὰ τὴν εὐθυπορίαν, ἀσθενεῖς δ᾽ οὔσας, οὐχ ὑπομένειν· ὅλως δὲ τὰ πολλὰ τῶν τοιούτων κάτωθεν, ἄρχεσθαι γηράσκειν διὰ τὴν ἀσθένειαν τῶν ῥιζῶν.

ἔτι δὲ τὰ ὑπὲρ γῆς, διὰ τὴν λεπτότητα καμπτόμενα ὑπὸ τῶν πνευμάτων, κινεῖν τὰς ῥίζας, τούτου δὲ συμβαίνοντος ἀπορρήγνυσθαι καὶ πηροῦσθαι, καὶ ἀπὸ τούτων τῷ ὅλῳ δένδρῳ γίγνεσθαι τὴν φθοράν.

Notes: **αἰτιάομαι**: offer a reason, allege, accuse; **εὐθύς, εὐθέα, εὐθύ**: straight (understand δένδρα: trees); **σκολιός, -ά, -όν**: curved, crooked (σκολιῶν [ῥιζωμάτων]: "as compared with curved…"); **βραχύβιος, -ον**: short-lived; **πρωϊβλάστος, -η, -ον**: early-sprouting; **ἡ ἀνάγκη**: constraint, necessity; **διαπέμπω**: send up; **ἡ βλάστησις, -εως**: bud, sprout; **ὁ καρπός**: fruit; **βραδύς, -εῖα, -ύ**: slow; **τό εὔρουν**: good flow, abundance; **ἡ ῥίζα**: root; **ἀπολαύω**: have enjoyment of, have benefit of; **μακρόρριζος, -η, -ον**: with long roots; **παχύρριζος, -η, -ον**: with thick roots; **δόξειεν**: construe Democritus as the subject.

ἀσθενής, **-ές**: weak; **ἀμφοτέρων** (αἰτίων) **θᾶττον**: comparative of ταχύς; **ἡ φθορά**: destruction, ruin; **δίειμι**: pass through, traverse; **τό ψῦχος, -εος**: cold; **ἡ ἀλέα**: heat; **ἡ εὐθυπορία**: straightness of the course; **ὑπομένω**: remain, survive, persist; **κάτωθεν**: from below; **γηράσκω**: grow old.

ἡ λεπτότης, -ητος: fineness, thinness; **κάμπτω**: bend; **συμβαίνω**: happen; **ἀπορρήγνυμι**: break, snap; **πηρόω**: maim, mutilate; **τό δένδον**: tree.

IX.4. Theophrastus, *Causes of Plants* 1.6.2. On grafting.

Grammar/Syntax Tags: superlatives, adverbs, substantives.

εὐλόγως δὲ καὶ ἡ ἀντίληψις μάλιστα τῶν ὁμοφλοίων, ἐλαχίστη γὰρ ἡ ἐξαλλαγὴ τῶν ὁμογενῶν, καὶ ὥσπερ μετάθεσις γίνεται μόνον·

Notes: **εὐλόγως**: reasonably; **ἡ ἀντίληψις, -εως**: exchange, receiving in return, reciprocation, "graft"; **ὁμοιόφλοιος**, **-ον**: with similar bark; **ἐλαχίστος, -η, -ον**: smallest; **ἡ ἐξαλλαγή**: alteration, change, variation; **ὁμογενής**, **-ές**: of the same kind, of the same character; **ἡ μετάθεσις, -εως**: change, transposition.

IX.5. Athenaeus, *Learned Banqueters* 2.61d-e. Mushrooms.

Grammar/Syntax Tags: superlatives, attributive articles, objective genitive, articular infinitive, contract verbs, indirect statement, circumstantial participles, recessive accent.

Δίφιλός φησι τοὺς μύκητας εἶναι εὐστομάχους, κοιλίας διαχωρητικούς, θρεπτικούς, δυσπέπτους δὲ καὶ φυσώδεις. τοιούτους δὲ εἶναι τοὺς ἐκ Κέω τῆς νήσου. πολλοὶ μέντοι καὶ κτείνουσι. δοκοῦσι δὲ οἰκεῖοι εἶναι οἱ λεπτότατοι καὶ ἁπαλοὶ καὶ εὔθρυπτοι οἱ ἐπὶ πτελέαις καὶ πεύκαις γινόμενοι·

ἀνοίκειοι δὲ οἱ μέλανες καὶ πελιοὶ καὶ σκληροὶ καὶ οἱ μετὰ τὸ ἐψηθῆναι καὶ τεθῆναι πησσόμενοι, οἵτινες

λαμβανόμενοι κτείνουσι. βοηθοῦνται δ᾽ ἀπὸ ὑδρομέλιτος πόσεως καὶ ὀξυμέλιτος, νίτρου καὶ ὄξους· μετὰ τὴν πόσιν δὲ ἐμεῖν δεῖ. διόπερ καὶ δεῖ μάλιστα σκευάζειν αὐτοὺς μετὰ ὄξους καὶ ὀξυμέλιτος ἢ μέλιτος ἢ ἁλῶν· οὕτω γὰρ αὐτῶν τὸ πνιγῶδες ἀφαιρεῖται.

Notes: **ὁ Δίφιλός**: a third century BCE poet of New Comedy; **ὁ μύκης, -ητος**: mushroom; **εὐστόμαχος, -ον**: be good for the stomach; **ἡ κοιλία**: belly; **διαχωρητικός, -ή, -όν**: laxative; **θρεπτικός, -ή, -όν**: nourishing; **δυσπέπτος, -ον**: hard to digest; **φυσώδης**, -**ες**: flatulence causing; **ἡ Κέως, Κέω** (Doric genitive): Ceos, one of the Cycladic islands; **μέντοι**: indeed; **κτείνω**: kill, be fatal; **λεπτός, -ή, -όν**: peeled, husked, slender, delicate; **ἁπαλός, -ή, -όν**: soft to the touch, tender; **εὔθρυπτος, -ον**: easily broken; **ἡ πτελέα**: elm; **ἡ πεύκη**: pine.

ἀνοίκειος, -ον: not of the family, not suitable (i.e., these mushrooms are poisonous); **μέλας, μέλαινα, μέλαν**: dark, black; **πελιός, -ά, -όν**: black and blue, bruised; **σκληρός, -ά, -όν**: hard, unyielding; **ἕψω**: boil (aorist passive infinitive); **τεθῆναι**: aorist passive infinitive of τίθημι; **πήσσω**: harden, freeze; **τό ὑδρομέλι, -ίτος**: hydromel, honey and water; **ἡ πόσις**, -**εως**: drink; **τό ὀξυμέλι, -ίτος**: honey and vinegar; **τό νίτρον**: sodium bicarbonate; **τό ὄξος**, -**εος**: vinegar; **ἐμέω**: vomit; **διόπερ**: on which account; **σκευάζω**: prepare; **τό μέλι, -ίτος**: honey; **ὁ ἅλς, ἁλός**: salt; **τό πνιγῶδες**: (threat of) choking; **ἀφαιρέω**: take away, remove, diminish.

IX.6. Athenaeus, *Learned Banqueters* 2.61e-f. More on mushrooms.

Grammar/Syntax Tags: objects complement, neuter plural nominative with singular verb, relative clauses, indirect statement.

Θεόφραστος δὲ ἐν τῷ *Περὶ Φυτῶν Ἱστορίας* γράφει· ὑπόγεια δὲ τὰ τοιαῦτά ἐστι καὶ ἐπίγεια, καθάπερ οὓς καλοῦσί τινες πέζιας, ἅμα τοῖς μύκησι γινομένους· ἄριζοι γὰρ καὶ αὐτοὶ τυγχάνουσιν. ὁ δὲ μύκης ἔχει προσφύσεως δίκην τὸν καυλὸν εἰς μῆκος, καὶ ἀποτείνουσιν ἀπ᾽ αὐτοῦ ῥίζαι. φησὶ δὲ καὶ ὅτι ἐν τῇ περὶ Ἡρακλέους στήλας

θαλάσσῃ ὅταν ὕδατα πλείω γένηται, μύκητες φύονται πρὸς τῇ θαλάσσῃ, οὓς καὶ ἀπολιθοῦσθαι ὑπὸ τοῦ ἡλίου φησί.

Notes: **Περὶ Φυτῶν Ἱστορίας**: Theophrastus' *Research on Plants* (fragment 399); **ὑπόγειος, -ον**: underground; **ἐπίγειος, -ον**: above ground; **καθάπερ**: according as, just as; **ἡ πέζις, -εως**: bullfist, "puff ball," "smoke ball"; **ἄριζος, -ον**: rootless; **ἡ πρόσφυσις, -εως**: growth, "rider"; **δίκην**: in the manner of; **ὁ καυλός**: stem; **τό μῆκος, -εος**: length, "stem"; **ἀποτείνω**: stretch out, extend; **ἡ ῥίζα**: root; **φησὶ**: Theophrastus, *History of Plants* 4.7.2; **Ἡρακλέους στήλας**: Straits of Gibralter (see above); **πλείω**: comparative adverb of πολύς; **φύω**: bring forth, produce; **ἀπολιθόομαι**: become stone.

X. Zoology

Greek thinkers would certainly have agreed with Claude Levi-Strauss, the French anthropologist who famously remarked that "animals are good to think [with]" (*Totemism*; London, 1964, p. 89). Animals were associated with gods who both protected them and accepted them as sacrifices (Poseidon, the father of horses, for example, was worshipped with offerings of horses by drowning, especially at Argos: Pausanias 8.7.2; see also Walter Burkert, *Structure and History in Greek Mythology and Ritual*, Berkeley, 1979: 113.). The hunt for a wild, dangerous beast (usually a lion or boar) was part of the standard heroic quest. Animals were bred, hunted, and eaten, and they were kept as pets (songbirds, goats, Maltese dogs). Dogs were admired for their loyalty (especially Argos, Odysseus' dog: *Odyssey* 17.300-27), and horses were cherished (the immortal horses of Achilles mourned for their deceased master: *Iliad* 17.426-56). Whether animals were ensouled was an early topic of debate, providing an argument in favor of vegetarianism for Pythagoras and Empedocles (*TEGP* 189). Although compassion was rare and most people believed that animals lacked reason (and therefore would not merit justice), Plutarch expressed concern over animal suffering and mistreatment, and he ascribed a rational soul to non-human animals.

Aristotle was the first thinker to study animals methodically, and he devised a taxonomy that prevailed until the Renaissance. Identifying more than 500 species of mammals and birds, 120 varieties of fish, and 60 types of insects, he categorized animals according to the presence or absence of various features (claws,

beaks, feathers, scales); what they ate; whether they were land- or sea- dwelling. He divided animals into two categories: blooded (viviparous and oviparous quadrupeds, marine mammals, birds, fish) and bloodless (mollusks, crustacea, testacea, insects).

X.1. Aristotle, *History of Animals* 2.1-2 (501b3-17). Teeth.

Grammar/Syntax Tags: partitive genitive, comparatives, articular infinitives, indirect statement, relative clauses, impersonal passives, correlatives, polysyndeton.

> Ἄνθρωπος μὲν οὖν βάλλει τοὺς ὀδόντας, βάλλει δὲ καὶ ἄλλα τῶν ζῴων, οἷον ἵππος καὶ ὀρεὺς καὶ ὄνος. βάλλει δ᾽ ἄνθρωπος τοὺς προσθίους, τοὺς δὲ γομφίους οὐδὲν βάλλει τῶν ζῴων. ὗς δ᾽ ὅλως οὐδένα βάλλει τῶν ὀδόντων.
>
> περὶ δὲ τῶν κυνῶν ἀμφισβητεῖται, καὶ οἱ μὲν ὅλως οὐκ οἴονται βάλλειν οὐδένα αὐτούς, οἱ δὲ τοὺς κυνόδοντας μόνον· ᾧπται δ᾽ ὅτι βάλλει καθάπερ καὶ ἄνθρωπος, ἀλλὰ λανθάνει διὰ τὸ μὴ βάλλειν πρότερον πρὶν ὑποφυῶσιν ἐντὸς ἴσοι. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν ἀγρίων εἰκὸς συμβαίνειν, ἐπεὶ λέγονταί γε τοὺς κυνόδοντας μόνον βάλλειν. τοὺς δὲ κύνας διαγιγνώσκουσι τοὺς νεωτέρους καὶ πρεσβυτέρους ἐκ τῶν ὀδόντων· οἱ μὲν γὰρ νέοι λευκοὺς ἔχουσι καὶ ὀξεῖς τοὺς ὀδόντας, οἱ δὲ πρεσβύτεροι μέλανας καὶ ἀμβλεῖς. ἐναντίως δὲ πρὸς τἆλλα ζῷα καὶ ἐπὶ τῶν ἵππων συμβαίνει· τὰ μὲν γὰρ ἄλλα ζῷα πρεσβύτερα γιγνόμενα μελαντέρους ἔχει τοὺς ὀδόντας, ὁ δ᾽ ἵππος λευκοτέρους.

Notes: **βάλλει**: shed, "lose"; **ὁ ὀδούς, ὀδόντος**: tooth; **τό ζῷον**: living creature, life form; **ὁ ὀρεύς, -έως**: mule; **ὁ ὄνος**: donkey; **πρόσθιος, -α, -ον**: foremost, front (tooth); **ὁ γομφίος**: molar; **ὁ/ἡ ὗς, ὑός**: swine, pig; **ὅλως**: altogether, entirely.

ὁ/ἡ κύων, κυνός: dog; **ἀμφισβητέω**: disagree, dispute; **ὁ κυνόδους, -οντος**: dogtooth, canine; **ὦπται**: perfect middle/passive of ὁράω, "it has been observed"; **καθάπερ**: according as, just as; **ὑποφύω**: grow up from underneath; **ἐντός**: within; **ὁμοίως**: similarly; **ἄγριος, -α, -ον**: wild, savage; **διαγιγνώσκω**: discern exactly; **πρεσβυτέρος, -α, -ον**: older; **λευκός, -ή, -όν**: light, bright, clear, white; **ὀξύς, -εῖα, -ύ**: sharp; **μέλας, μέλαινα, μέλαν**: dark, black; **ἀμβλύς, -εῖα, -ύ**: dull; **ἐναντίως**: on the contrary, in reverse.

X.2. Herodotus 2.71. The Hippopotamus.

Grammar/Syntax Tags: attributive articles, genitive of description, possessive genitive, result clauses.

οἱ δὲ ἵπποι οἱ ποτάμιοι νομῷ μὲν τῷ Παπρημίτῃ ἱροί εἰσι, τοῖσι δὲ ἄλλοισι Αἰγυπτίοισι οὐκ ἱροί. φύσιν δὲ παρέχονται ἰδέης τοιήνδε: τετράπουν ἐστί, δίχηλον, ὁπλαὶ βοός, σιμόν, λοφιὴν ἔχον ἵππου, χαυλιόδοντας φαῖνον, οὐρὴν ἵππου καὶ φωνήν, μέγαθος ὅσον τε βοῦς ὁ μέγιστος: τὸ δέρμα δ᾽ αὐτοῦ οὕτω δή τι παχύ ἐστι ὥστε αὔου γενομένου ξυστὰ ποιέεσθαι ἀκόντια ἐξ αὐτοῦ.

Notes: **ὁ νομός**: pasture, abode, district; **Πάπρεμις**: a city in the western Nile delta; **ἱρός** = ἱερός; **ἡ ἰδέα**: form, shape, appearance; **τετράπους, -πουν**: four-footed; **δίχηλος, -ον**: cloven-hooved; **ἡ ὁπλή**: hoof; **σιμός, -ή, -όν**: snub-nosed; **ἡ λοφιά**: mane; **ὁ χαυλιόδους, -όδοντος**: tusk; **φαῖνον**: neuter present participle of φαίνω; **ἡ οὐρά**: tail; **τό δέρμα, -ατος**: skin, hide; **παχύς, -εῖα**: thick; **αὖος, -η, -ον**: dried; **τό ξυστόν**: spear, lance, shaft; **τό ἀκόντιον**: javelin, spear.

X.3. Aelian, *On the Nature of Animals* 1.31. The porcupine.

Grammar/Syntax Tags: ethical dative, perfect middle/passives, contract verbs, indirect statement.

τὴν δὲ ὕστριχα ἀκούω ταῦτα μὲν οὐκ ἔχειν, οὐ μὴν ὅπλων ὑπὸ τῆς φύσεως ἀμυντηρίων ἀπολελεῖφθαι ἐρήμην. τοῖς γοῦν ἐπιοῦσιν ἐπὶ λύμῃ τὰς ἄνωθεν τρίχας οἱονεὶ

βέλη ἐκπέμπει, καὶ εὐστόχως βάλλει πολλάκις, τὰ νῶτα φρίξασα· καὶ ἐκεῖναί γε πηδῶσιν, ὥσπερ οὖν ἔκ τινος ἀφειμέναι νευρᾶς.

Notes: **ὁ/ἡ ὕστριξιχος**: porcupine; **ταῦτα**: i.e., claws and fangs; **ἀμυντήριος, -ον**: defensive; **ἀπολείπω**: leave, fail, fall short (perfect middle/passive infinitive); **ἐρῆμος, -ον**: destitute of; **γοῦν**: at any rate, at least; **ἔπειμι**: go toward, approach, attack, threaten (dative plural participle); **ἡ λύμη**: outrage, harm, "attack"; **ἄνωθεν**: from above; **ἡ θρίξ, τριχός**: hair; **οἱονεί**: as if, just like; **τό βέλος, -εος**: missile, arrow, dart; **ἐκπέμπω**: send out, discharge; **εὐστόχως**: aiming successfully; **πολλάκις**: often; **τό νῶτον**: back; **φρίσσω**: be rough, bristle (aorist active participle); **πηδάω**: leap; **ἀφίημι**: send forth (perfect middle/passive participle); **ἡ νευρά**: string, bowstring.

X.4. Strabo 16.4.14. Elephants as hydraulic engineers in East Africa.

Grammar/Syntax Tags: objective genitive, instrumental dative, genitive absolute.

ὑπέρκειται δὲ ἡ Λίχα, θήρα τῶν ἐλεφάντων: πολλαχοῦ δ᾽ εἰσὶ συστάδες τῶν ὀμβρίων ὑδάτων, ὧν ἀναξηρανθεισῶν οἱ ἐλέφαντες ταῖς προβοσκίσι καὶ τοῖς ὀδοῦσι φρεωρυχοῦσι καὶ ἀνευρίσκουσιν ὕδωρ.

Notes: **ὑπέρκειμαι**: lie above, be situated above; **ἡ Λίχα**: Licha is located near Deire and Arsinoe in Eritrea near the entrance to the Red Sea; **ἡ θήρα**: hunting area; **πολλαχοῦ**: in many places; **ἡ συστάς, -άδος**: cistern, resevoir; **ὄμβριος, -ον**: rainy, of rain; **ἀναξηραίνω**: dry up (aorist passive participle); **ἡ προβοσκίς, -ίδος**: trunk; **ὁ ὀδούς, -όντος**: tooth, tusk; **φρεωρυχέω**: dig a well; **ἀνευρίσκω**: discover, come upon, find.

X.5. Hanno, *Periplus Beyond the Pillars of Heracles* 18. In the 5th century BCE, the Carthaginian king Hanno led an expedition through the Pillars of Herakles and down the western coast of Africa for the purpose of founding colonies. The adventure was commemorated on an inscription consecrated in a Carthaginian temple of Cronus and eventually translated into Greek, preserved in a ninth century manuscript (*Codex Palatinus graecus* 398). Here we have the Gorilla women near Mt Cameroon.

Grammar/Syntax Tags: genitive with special adjectives, uses of the dative case,

imperfect tense, participles, complementary infinitives.

> ἐν δὲ τῷ μυχῷ νῆσος ἦν ἐοικυῖα τῇ πρώτῃ, λίμνην ἔχουσα, καὶ ἐν ταύτῃ νῆσος ἦν ἑτέρα, μεστὴ ἀνθρώπων ἀγρίων· πολὺ δὲ πλείους ἦσαν γυναῖκες, δασεῖται τοῖς σώμασιν, ἃς οἱ ἑρμηνέες ἐκάλουν Γορίλλας.
>
> διώκοντες δὲ ἄνδρας μὲν συλλαβεῖν οὐκ ἠδυνήθημεν, ἀλλὰ πάντες μὲν ἐξέφυγον κρημνοβάται ὄντες καὶ †τοῖς μετρίοις† ἀμυνόμενοι, γυναῖκας δὲ τρεῖς, αἳ δάκνουσαί τε καὶ σπαράττουσαι τοὺς ἄγοντας οὐκ ἤθελον ἔπεσθαι·
>
> ἀποκτείναντες μέντοι αὐτὰς ἐξεδείραμεν, καὶ τὰς δορὰς ἐκομίσαμεν εἰς Καρχηδόνα.

Notes: **ὁ μυχός**: nook, corner, recess; **ἡ λίμνη**: pool, marsh; **μεστός, -ή, -όν**: full; **ἐοικυῖος, -α, -ον** (+ dative): similar (to); **τῇ πρώτῃ** (νῆσῳ); **δασύς, -εῖα, -ύ**: hairy, shaggy; **ὁ ἑρμηνεύς, -έως**: interpreter.

συλλαμβάνω: collect, gather, catch; **ἀδύναμαι**: not be able; **ἐκφεύγω**: flee away, escape; **ἡ κρημνοβάτη, -ης**: step-climber, rope-climber; **τοῖς μετρίοις**: the reading as preserved makes no sense; supply πετρίοις (a variant of τό πετραῖον: rock) for μετρίοις; **ἀμύνω**: keep off, ward off, defend; **δάκνω**: bite, sting; **σπαράσσω**: tear, rend.

ἀποκτείνω: slay, kill; **ἐκδέρω**: strip the skin, flay; **ἡ δορά, -ας**: skinned hide; **κομίζω**: carry away, preserve, carry off as a prize; **ἡ Καρχηδόνα**: Carthage.

X.6. Plutarch, *Beasts are Rational* 991e-f. Animals are autodidactic self-healers.

Grammar/Syntax Tags: pronouns, contract verbs, participles, complementary infinitives, indirect statement, questions.

> παρὰ τίνος γὰρ ἡμεῖς ἐμάθομεν νοσοῦντες ἐπὶ τοὺς ποταμοὺς χάριν τῶν καρκίνων βαδίζειν; τίς δὲ τὰς χελώνας ἐδίδαξε τῆς ἔχεως φαγούσας τὴν ὀρίγανον ἐπεσθίειν; τίς

δὲ τὰς Κρητικὰς αἶγας, ὅταν περιπέσωσι τοῖς τοξεύμασι, τὸ δίκταμνον διώκειν, οὗ βρωθέντος ἐκβάλλουσι τὰς ἀκίδας;

Notes: **ἐμάθομεν**: the speaker is Gryllus, one of Circe's pigs; **νοσέω**: be sick; **χάριν**: for the sake of (+ genitive); **ὁ καρκίνος**: crab (Dioscorides 2.10 cites eating river crabs as a treatment for venomous bites, and Pliny the Elder, *NH* 32.119 suggests crab oil to heal burns); **βαδίζω**: go, proceed; **ἡ χελώνη**: tortoise; **ὁ/ἡ ἔχις, -εως**: viper; **φαγεῖν**: to eat; **τό ὀρίγανον**: marjoram (see also Aristotle, *History of Animals* 9.6 [612a24] and Aelian, *On the Nature of Animals* 6.12); **ἐπεσθίω**: eat in addition; **ὁ/ἡ αἴξ, αἰγός**: goat; **περιπίπτω**: fall in with, fall afoul of, be wrecked; **τό τόξευμα, -ατος**: arrow; **τό δίκταμνον**: dittany; **βιβρώσκω**: eat (aorist passive participle); **ἐκβάλλω**: eject, expel; **ἡ ἀκίς, -ίδος**: point, barb, arrow.

XI. Medicine and Healing

Health is a universal concern. A patient's first recourse was usually the extensive body of traditional folk remedies, handed down through the generations, but two professionalized, symbiotic approaches were developed nearly simultaneously in the 5th century BCE in order to establish medical orthodoxy over magical alternatives (Nutton 2013: 105): rational, Hippocratic medicine; and incubation sanctuaries to Asclepius. The divine was never divorced from rational medicine, as evident in the Hippocratic Oath (excerpted in XI.5, below). Herophilus called drugs "the hands of the gods" (T249 vonStaden), and Galen, who joined the profession because Asclepius appeared to his ill father in a dream (*On Anatomical Procedures* 9.4 [10.609K)]; *On the Order of my Books* [19.59K]), identified himself as a worshipper (θεραπευτής) of Asclepius. Theodicy (illness as divine punishment) was widely embraced, as we see in the opening episode of the *Iliad* (1.33-100) where Apollo had punished the Greeks with a plague for Agamemnon's offense to his priest. This is evident also in the case of Phineus who was blinded for his *hubris* (Apollonius of Rhodes, *Argonautica* 2.236-237), among many other examples.

A rich body of medical writings survives from antiquity, concentrated primarily in two large collections: the Hippocratic and Galenic *corpora*. Around sixty treatises are attributed to the Hippocratic school, ranging in date from the mid-5th to the 4th century BCE. Most are anonymous, and none is securely attributable to the historic Hippocrates of Cos. The Hippocratic texts preserve numerous approaches

from the philosophic and theoretical (e.g., *Airs, Waters, Places*) to the systematic recording of case histories (e.g., *Epidemics*). Although the Alexandrian *Museion* was a center of intellectual fervor in all academic areas, including medicine, and despite the advances in anatomical knowledge afforded by a brief window that legitimized human dissection (it is now debated if dissection was entirely abandoned after the Hellenistic era: Lesley Dean-Jones "Galen and the Culture of Dissection," College of William and Mary, October 13, 2016), the works of Praxagoras of Cos, Herophilus of Chalcedon, Erasistratus of Ceos, and others are mostly lost, surviving only as scant fragments distilled through Galen's hostile pen. A strict humouralist and great admirer of Hippocrates, Galen may have composed nearly 500 treatises covering many topics in medicine and pharmacy, systematizing and synthesizing previous medical theory. Perhaps a third of these survive in Greek or translated into Arabic, Syriac, and other languages.

XI.1. Aeschylus, *Eumenides* 656-667. Apollo's defense of Orestes against the charge of murdering a kinsman (his mother) derives from contemporary embryological theory. The god even offered proof (in this passage) that the mother is NOT related to her child.

Grammar/Syntax Tags: objective genitive, ethical dative, future tense, aorist imperative, aorist subjunctive, aorist optative, substantive participles.

καὶ τοῦτο λέξω, καὶ μάθ᾽ ὡς ὀρθῶς ἐρῶ.

οὐκ ἔστι μήτηρ ἡ κεκλημένη τέκνου

τοκεύς, τροφὸς δὲ κύματος νεοσπόρου.

τίκτει δ᾽ ὁ θρῴσκων, ἡ δ᾽ ἅπερ ξένῳ ξένη

ἔσωσεν ἔρνος, οἷσι μὴ βλάψῃ θεός.

τεκμήριον δὲ τοῦδέ σοι δείξω λόγου.

πατὴρ μὲν ἂν γέναιτ᾽ ἄνευ μητρός: πέλας

μάρτυς πάρεστι παῖς Ὀλυμπίου Διός,

οὐδ᾽ ἐν σκότοισι νηδύος τεθραμμένη,

ἀλλ᾽ οἷον ἔρνος οὔτις ἂν τέκοι θεά.

Notes: **μάθ**᾽: aorist imperative of μανθάνω; **ὀρθῶς**: correctly; **ἐρῶ**; future of λέγω; **κεκλημένη**: perfect middle/passive participle of καλέω; **ὁ τοκεύς, -έως**: one who begets, parent; **ὁ/ἡ τροφός**: feeder, rearer, nourisher, nurse; **τό κῦμα, -ατος**: anything swollen, wave, billow, pregnancy; **νεόσπορος, -ον**: newly sown (i.e., fetus); **θρῴσκω**: mount, impregnate; **ἅπερ**: as (relative pronoun); **σώζω**: keep, preserve, protect; **τό ἔρνος, -εος**: sprout, shoot, embryo, fetus; **βλάπτω**: harm, injure; **τό τεκμήριον**: proof; **πέλας**: at hand, nearby; **ὁ μάρτυς**: witness; **ὁ σκότος**: darkness, gloom; **ἡ νηδύς, -ύος**: cavity, womb; **τεθραμμένη**: perfect middle/passive participle of τρέφω; **τέκοι**: aorist active optative of τίκτω.

XI.2. Galen, *On the Natural Faculties* 2.9. Four Humour Theory.

Grammar/Syntax Tags: partitive genitive, τις/τίς, participles, imperfect tense, contract verbs, indirect statement.

Ἀλλ᾽ οὔθ᾽ Ἱπποκράτης οὔτ᾽ ἄλλος τις ὧν ὀλίγῳ πρόσθεν ἐμνημόνευσα φιλοσόφων ἢ ἰατρῶν ἄξιον ᾤετ᾽ εἶναι παραλιπεῖν· ἀλλὰ τὴν κατὰ φύσιν ἐν ἑκάστῳ ζῴῳ θερμασίαν εὔκρατόν τε καὶ μετρίως ὑγρὰν οὖσαν αἵματος εἶναί φασι γεννητικὴν καὶ δι᾽ αὐτό γε τοῦτο καὶ τὸ αἷμα θερμὸν καὶ ὑγρὸν εἶναί φασι τῇ δυνάμει χυμόν, ὥσπερ τὴν ξανθὴν χολὴν θερμὴν καὶ ξηρὰν εἶναι, εἰ καὶ ὅτι μάλισθ᾽ ὑγρὰ φαίνεται. (διαφέρειν γὰρ αὐτοῖς δοκεῖ τὸ κατὰ φαντασίαν ὑγρὸν τοῦ κατὰ δύναμιν.)

ἢ τίς οὐκ οἶδεν, ὡς ἅλμη μὲν καὶ θάλαττα ταριχεύει τὰ κρέα καὶ ἄσηπτα διαφυλάττει, τὸ δ᾽ ἄλλο πᾶν ὕδωρ τὸ πότιμον ἑτοίμως διαφθείρει τε καὶ σήπει; τίς δ᾽ οὐκ οἶδεν, ὡς ξανθῆς χολῆς ἐν τῇ γαστρὶ περιεχομένης

πολλῆς ἀπαύστῳ δίψει συνεχόμεθα καὶ ὡς ἐμέσαντες αὐτὴν εὐθὺς ἄδιψοι γιγνόμεθα μᾶλλον ἢ εἰ πάμπολυ ποτὸν προσηράμεθα; θερμὸς οὖν εὐλόγως ὁ χυμὸς οὗτος εἴρηται καὶ ξηρὸς κατὰ δύναμιν, ὥσπερ γε καὶ τὸ φλέγμα ψυχρὸν καὶ ὑγρόν.

Notes: **πρόσθεν**: before; **μνημονεύω**: call to mind, mention; **ὁ φιλοσόφος**: lover of wisdom, philosopher; **ὁ ἰατρός**: healer, physician; **ᾤετ᾽**: imperfect middle/passive indicative of οἴομαι; **παραλείπω**: leave aside, omit (i.e., a discussion of the nature of the four humours); **τό ζῷον**: living creature, animal; **ἡ θερμασία**: heat, warmth; **εὔκρατος, -ον**: well-mixed, well-tempered; **μετρίως**: moderately; **ὑγρός, -ά, -όν**: moist; **τό αἷμα, -ατος**: blood; **γεννητικός, -ή, -όν**: generative, productive; **θερμός, -ή, -όν**: warm, hot; **ὁ χυμός**: juice, humour; **ἡ ξανθός, -ή, -όν**: yellow, red, brown, auburn, golden; **ἡ χολή**: bile; **ξηρός, -ά, -όν**: dry; **μάλιστα**: especially, for the most part; **διαφέρω**: differ; **ἡ φαντασία**: appearance.

ἡ ἅλμη: sea water, salt water; **ταριχεύω**: preserve, embalm; **τό κρέας**: flesh; **ἄσηπτος, -ον**: uncorrupted, not liable to decay; **διαφυλάσσω**: guard carefully, "preserve"; **πότιμος, -ον**: drinkable; **ἑτοίμως**: readily, immediately; **διαφθείω**: destroy utterly; **σήπω**: make rotten; **ἡ γαστήρ, -έρος**: belly; **περιέχω**: surround, embrace, contain; **ἄπαυστος, -ον**: inceasing, never ending; **τό δίψος, -εος**: thirst; **συνέχω**: constrain, oppress; **ἐμέω**: vomit, throw up; **ἄδιψος, -η, -ον**: quenched, not thirsty; **πάμπολυς, -πόλλη, -πολυ**: very great; **ὁ ποτός**: (quantity of) drink; **προσαίρω**: take up (aorist middle indicative); **εὐλόγως**: reasonably; **τό φλέγμα, -ατος**: inflammation, heat, "phlegm"; **ψυχρός, -ά, -όν**: cold.

XI.3. Hippocratic *Regimen in Health* 1. Diet should correlate with the season in order to ensure a healthy balance of humors in the body.

Grammar/Syntax Tags: genitive of time when, superlative adverb with ὡς, contract verbs, impersonal verbs.

Τοὺς ἰδιώτας ὧδε χρὴ διαιτᾶσθαι· τοῦ μὲν χειμῶνος ἐσθίειν ὡς πλεῖστα, πίνειν δ᾽ ὡς ἐλάχιστα, εἶναι δὲ τὸ πόμα οἶνον ὡς ἀκρητέστατον, τὰ δὲ σιτία ἄρτον καὶ τὰ

ὄψα ὀπτὰ πάντα, λαχάνοισι δὲ ὡς ἐλαχίστοισι χρῆσθαι ταύτην τὴν ὥρην· οὕτω γὰρ ἂν μάλιστα τὸ σῶμα ξηρόν τε εἴη καὶ θερμόν.

Notes: **διαιτάω**: conduct one's life; **ὁ χειμών, -ῶνος**: winter (the recommended diet balances out winter's cold, wet properties); **ἐσθίω**: eat; **ἐλάχιστα**: superlative of μικρός; **τό πόμα** = τό πῶμα, -ατος: drink, draught; **ὁ οἶνος**: wine; **ἄκρατος, -η, -ον**: unmixed; **τό σιτίον**: grain, bread; **ὁ ἄρτος**: loaf; **τό ὄψον**: prepared food, meat; **ὀπτός, -ή, -όν**: roasted, broiled; **τό λάχανον**: garden herb, vegetable; **ἡ ὥρα**: season; **ξηρός, -ά, -όν**: dry; **θερμός, -ή, -όν**: warm, hot.

XI.4. Hippocratic, *Airs, Waters, Places* 12. Asia's climate is healthier than Europe's.

Grammar/Syntax Tags: partitive genitive, comparative adjectives, superlative adjectives, relative clauses, causal clause.

πολὺ γὰρ καλλίονα καὶ μέζονα πάντα γίνεται ἐν τῇ Ἀσίῃ, ἥ τε χώρη τῆς χώρης ἡμερωτέρη καὶ τὰ ἤθεα τῶν ἀνθρώπων ἠπιώτερα καὶ εὐοργητότερα. τὸ δὲ αἴτιον τούτων ἡ κρῆσις τῶν ὡρέων, ὅτι τοῦ ἡλίου ἐν μέσῳ τῶν ἀνατολέων κεῖται πρὸς τὴν ἠῶ τοῦ τε ψυχροῦ πορρωτέρω. τὴν δὲ αὔξησιν καὶ ἡμερότητα παρέχει πλεῖστον ἁπάντων, ὁκόταν μηδὲν ᾖ ἐπικρατέον βιαίως, ἀλλὰ παντὸς ἰσομοιρίη δυναστεύῃ.

Notes: **καλλίονα**: comparative of καλός; **μέζονα**: comparative of μέγας; **ἥμερος, -α, -ον**: tame, gentle, civilized; **τό ἦθος, -εος**: haunt, abode, disposition, character; **ἤπιος, -α, -ον**: gentle, favorable; **εὐόργητος, -η, -ον**: good-tempered; **ἡ κρῆσις, -εως**: mixing, blending; **ἡ ὥρα**: season; **ἡ ἀνατολή**: rising; **ἡ ἠώς, ἠοῦς**: dawn; **ψυχρός, -ά, -όν**: cold; **πορρωτέρω**: forward; **ἡ αὔξησις, -εως**: growth, increase; **ἡ ἡμερότης, -ητος**: cultivation, mildness; **ἅπας, ἅπασα, ἅπαν**: all; **ὁκόταν**: whenever; **ἐπικρατέος, -η, -ον**: dominant; **βιαίως**: violently, forcibly; **ἡ ἰσομοιρίη**: equal share; **δυναστεύω**: hold power over (present subjunctive).

XI.5. The Hippocratic oath is essentially a Pythagorean, religious document, wherein

Hippocratic physicians swore a binding vow to honor all the various Greek gods of health and healing and to avoid the religious crime of miasma (the act of shedding bodily fluids on the earth: see further, R. Parker. 1977. *Miasma*. Oxford). Here we have the opening lines.

Grammar/Syntax Tags: accusative of respect, objects complement, future infinitive, infinitive of purpose, genitive absolute.

> ὄμνυμι Ἀπόλλωνα ἰητρὸν καὶ Ἀσκληπιὸν καὶ Ὑγείαν καὶ Πανάκειαν καὶ θεοὺς πάντας τε καὶ πάσας, ἵστορας ποιεύμενος, ἐπιτελέα ποιήσειν κατὰ δύναμιν καὶ κρίσιν ἐμὴν ὅρκον τόνδε καὶ συγγραφὴν τήνδε.
>
> ***Notes***: **ὄμνυμι**: swear; **ὁ ἰητρός**: healer, physician; **ὁ Ἀσκληπιός**: son of Apollo and the mortal woman Coronis, he was rescued from the womb of his unfaithful mother and raised by the centaur Chiron who taught him the art of healing; **ἡ Ὑγεία**: one of Asclepius's six daughters, the personification of "Health"; **ἡ Πανάκεια**: one of Asclepius's six daughters, "Universal Remedy"; **ὁ ἵστωρ, -ορος**: one who knows, judge, expert; **ἐπιτελής, -ές**: brought to an end, fulfilled, completed; **ἡ κρίσις, -εως**: judgment, choice, interpretation; **ὁ ὅρκος**: oath, vow, object by which one swears; **ἡ συγγραφή**: writing, contract.

XII. Pharmacy

Intersecting with medicine, botany, zoology, geology, and cosmetics (e.g., perfumes, dandruff treatments), pharmacy is one of the oldest of the sciences. Drugs, "the hands of the gods" (Herophilus T249 von Staden), were compounded from simple and complex recipes of botanical, animal, and mineral substances that were used to heal (or harm) the body. Opium, for example, was among the many substances employed to treat aches and pains, including headaches. Salves were developed to improve vision or enhance the efficacy of bandages. Recipes are preserved for relieving hangovers, ringing in the ears, liver complaints, envenoming bites, and myriad other maladies. The notorious king Mithridates VI of Pontus (ruled ca. 120-63 BCE) reputedly immunized himself against all poisons by ingesting small amounts of toxins over time (Pliny, *NH* 25.3, 5-7). His name was bestowed on a

class of antidotes credited as his inventions (see Celsus 5.23.3 for an expensive, multi-ingredient compounded mithridatium).

Although many authors investigated the medicinal properties of common (and exotic) substances, one extant ancient text was devoted exclusively to pharmacy, *de Materia Medica* of Dioscorides of Anazarbus (1st century CE), who described over 1,000 botanicals, animal, and mineral products arranged according to their affects on the human body.

Pharmacy was never entirely divorced from folklore, and superstitions guided the collection and preparation of medicals. Theophrastus gave precise instructions for collecting botanicals, including standing to windward when gathering the fruit of the wild rose, gathering honeysuckle before the sun strikes the blossoms, eating garlic and drinking unmixed wine before collecting hellebore, but he rejected as superstitious the folk belief that peonies must be collected at night (*History of Plants* 9.8).

XII.1. *Homeric Hymn to Demeter* 206-209. Cykeon.

Grammar/Syntax Tags: genitive with special adjectives, dative with special adjectives, imperfect tense, indirect object, δίδωμι.

τῇ δὲ δέπας Μετάνειρα δίδου μελιηδέος οἴνου
πλήσασ᾽: ἣ δ᾽ ἀνένευσ᾽: οὐ γὰρ θεμιτόν οἱ ἔφασκε
πίνειν οἶνον ἐρυθρόν: ἄνωγε δ᾽ ἄρ᾽ ἄλφι καὶ ὕδωρ
δοῦναι μίξασαν πιέμεν γλήχωνι τερείνῃ.

Notes: **τῇ**: Demeter; **τό δέπας, -αος**: goblet, bowl; **Μετάνειρα**: the queen of Eleusis; **δίδου**: imperfect indicative of δίδωμι; **μελιηδής, -ές**: honey-sweet; **ὁ οἶνος**: wine; **πίμπλημι**: fill; **ἀνανεύω**: throw head back in refusal; **θεμιτός, -ή, -όν**: in accord with divine law; **οἱ**: dative of the reflexive pronoun ἑ; **φάσκω**: say, affirm; **ἐρυθρός, -ά, -όν**: red; **ἄνωγα**: command; **τό ἄλφιτον**: barley groats; **μίγνυμι**: mix (modifies Metaneira, understood as the object of ἄνωγε); **πιέμεν**: aorist infinitive of πίνω; **ἡ γλήχων, -ωνος**: pennyroyal; **τέρην, -εινα, -εν**: soft, delicate.

XII.2. Dioscorides 3.31. Pennyroyal.

Grammar/Syntax Tags: aorist passive participle.

> γλήχων· πόα γνώριμος, θερμαντική, λεμτυντική, πεπτική. ποθεῖσα δὲ ἔμμηνα καὶ δεύτερα καὶ ἔμβρυα ἄγει·

Notes: **ἡ γλήχων -ωνος**: pennyroyal; **ἡ πόα**: grass, herb; **γνώριμος, -ον**: well-known; **θερμαντικός, -ή, -όν**: warming; **λεμτυντικός, -ή, -όν**: thinning; **πεπτικός, -ή, -όν**: promoting digestion; **ποθεῖσα**: aorist passive participle of πίνω; **τό ἔμμηνον**: menses, something that lasts or occurs monthly; **τό δεύτερον**: a second thing, "afterbirth"; **τό ἔμβρυον**: embryo, fetus.

XII.3. Hippocratic Corpus, *On Barrenness in Women* 30.1. Expelling an aborted fetus.

Grammar/Syntax Tags: 3rd person imperative, participial clauses.

> μετὰ δὲ πινέτω ὀρίγανον καὶ γλήχωνα καὶ ἄλφιτον ἐν ὕδατι ἐπιπάσσουσα, δάφνης φύλλα κόψας καὶ τρίψας λεῖα, κόμμι παραμίξας, καὶ διεὶς ὕδατι, πίνειν διδόναι.

Notes: **μετά**: here the author has offered a third solution; **τό ὀρίγανον**: marjoram; **ἐπιπάσσω**: sprinkle on; **ἡ δάφνη**: sweet bay, laurel; **τό φύλλον**: leaf; **κόπτω**: cut, grind; **τρίβω**; rub, pound, grind; **λεῖος -α -ον**: smooth, minced, crushed (the author intends the mixture to be ground up very finely); **τό κόμμι**: gum; **παραμίγνυμι**: mix up together; **διΐημι**: send through, let go through, dissolve.

XII.4. Aristotle, *On Marvelous Things Heard* 4. Goats self-medicate with dittany.

Grammar/Syntax Tags: aorist subjunctives.

> Αἱ ἐν Κρήτῃ αἶγες ὅταν τοξευθῶσι, ζητοῦσιν, ὡς ἔοικε, τὸ δίκταμον τὸ ἐκεῖ φυόμενον. ὅταν γὰρ φάγωσιν, εὐθὺς ἐκβάλλουσι τὰ τοξεύματα.

Notes: **ὁ/ἡ αἶξ, αἰγός**: goat; **τοξεύω**: shoot with an arrow (aorist passive subjunctive); **τό δίκταμον**: dittany; **φαγεῖν**: to eat (aorist subjunctive); **εὐθύς**: immediately; **ἐκβάλλω**: expel, drop; **τό τόξευμα, -ατος**: arrow.

XII.5. Homer, *Odyssey* 10.302-306. Hermes offers the magical antidote moly to Odysseus about to encounter Circe.

Grammar/Syntax Tags: dative of specification, ethical dative, aorist participle.

ὣς ἄρα φωνήσας πόρε φάρμακον Ἀργεϊφόντης

ἐκ γαίης ἐρύσας, καί μοι φύσιν αὐτοῦ ἔδειξε.

ῥίζῃ μὲν μέλαν ἔσκε, γάλακτι δὲ εἴκελον ἄνθος:

μῶλυ δέ μιν καλέουσι θεοί: χαλεπὸν δέ τ᾽ ὀρύσσειν

ἀνδράσι γε θνητοῖσι, θεοὶ δέ τε πάντα δύνανται.

Notes: **φωνέω**: speak; **πόρω**: offer; **τό φάρμακον**: a drug that can either heal or harm; **Ἀργεϊφόντης**: Argos-slayer, Hermes; **ἐρύω**: draw, pull, pluck; **μοι**: Odysseus (Odysseus is here recounting his adventures to the Phaeacian court); **ἡ ῥίζα**: root; **μέλας, μέλαινα, μέλαν**: dark, black; **ἔσκε**: imperfect Ionic form of εἰμί; **τό γάλα, γάλακτος**: milk, milky sap; **εἴκελος, -η, -ον**: like; **τό ἄνθος, -ους**: flower, bloom; **τό μῶλυ**: moly; **μιν**: him, her, it; **ὀρύσσω**: dig; **θνητός, -ή, -όν**: mortal, dying.

XII.6. Theophrastus, *History of Plants* 9.15.7. Moly. Notice how Theophrastus has described this exotic plant by comparing it with more familiar ones.

Grammar/Syntax Tags: dative with special adjectives, indirect statement, relative clauses.

τὸ δὲ μῶλυ (γίνεται) περὶ Φενεὸν καὶ ἐν τῇ Κυλλήνῃ. φασὶ δ᾽ εἶναι καὶ ὅμοιον ᾧ ὁ Ὅμηρος εἴρηκε, τὴν μὲν ῥίζαν ἔχον στρογγύλην προσεμφερῆ κρομύῳ, τὸ δὲ φύλλον ὅμοιον σκίλλῃ· χρῆσθαι δὲ αὐτῷ πρός τε τὰ ἀλεξιφάρμακα καὶ τὰς μαγείας· οὐ μὴν ὀρύττειν γ᾽ εἶναι χαλεπόν, ὡς Ὅμηρός φησι.

Notes: **Φενεόν**: west of Corinth in the Peloponnese; **τῇ Κυλλήνῃ**: the second

tallest mountain in the Peloponnese; **εἴρηκε**: perfect active indicative of λέγω; **ἡ ῥίζα**: root; **στρογγύλος, -η, -ον**: rounded, spherical; **προσεμφερής, -ές** (+ dative): resembling; **τό κρομύον**: onion; **τό φύλλον**: leaf; **ἡ σκίλλα**: squill, sea onion; **τό ἀλεξιφάρμακον**: antidote, remedy; **ἡ μαγεία**: magic.